ἑαυτῷ καὶ μήτε πράττειν μηδὲν ὀλιγώρως καὶ ἀπερισκέπτως
μήτε λέγειν, ἀλλ' ἀεὶ διαφυλάττειν ὥσπερ ἐν ἀκριβεῖ διαίτῃ
τὸν βίον ἀνεπίληπτον· ἡ γὰρ οὕτω συστέλλουσα τὰ πάθη καὶ
συνέχουσα τὸν λογισμὸν εὐλάβεια μελέτην ἐμποιεῖ καὶ προαίρε-
σιν τοῦ ζῆν ἐπιεικῶς καὶ ἀνεγκλήτως. καθάπερ γὰρ αἱ πο-
λέμοις ἀστυγειτονικοῖς καὶ στρατείαις ἐνδελεχέσι σωφρονιζό-
μεναι πόλεις εὐνομίαν καὶ πολιτείαν ὑγιαίνουσαν ἠγάπησαν, E
οὕτως οἱ δι' ἔχθρας τινὰς ἀναγκασθέντες ἐπινήφειν τῷ βίῳ
καὶ φυλάττεσθαι τὸ ῥᾳθυμεῖν καὶ καταφρονεῖν καὶ μετ' εὐ-
χρηστίας ἕκαστα πράττειν λανθάνουσιν εἰς τὸ ἀναμάρτητον
ὑπὸ τῆς συνηθείας ἀγόμενοι καὶ κατακοσμούμενοι τὸν τρόπον,
ἂν καὶ μικρὸν ὁ λόγος συνεπιλαμβάνηται. τὸ γὰρ (*Α* 255)

'ἦ κεν γηθήσαι Πρίαμος Πριάμοιό τε παῖδες'

οἷς ἐστιν ἀεὶ πρόχειρον, ἐπιστρέφει καὶ διατρέπει καὶ ἀφίστησι
τῶν τοιούτων ἐφ' οἷς οἱ ἐχθροὶ χαίρουσι καὶ καταγελῶσι. καὶ F
μὴν τοὺς περὶ τὸν Διόνυσον τεχνίτας ὁρῶμεν ἐκλελυμένως
καὶ ἀπροθύμως καὶ οὐκ ἀκριβῶς πολλάκις ἀγωνιζομένους ἐν
τοῖς θεάτροις ἐφ' ἑαυτῶν· ὅταν δ' ἅμιλλα καὶ ἀγὼν γένηται
πρὸς ἑτέρους, οὐ μόνον αὑτοὺς ἀλλὰ καὶ τὰ ὄργανα μᾶλλον
συνεπιστρέφουσι, χορδολογοῦντες καὶ ἀκριβέστερον ἁρμοζό-
μενοι καὶ καταυλοῦντες. ὅστις οὖν οἶδεν ἀνταγωνιστὴν βίου
καὶ δόξης τὸν ἐχθρὸν ὄντα, | προσέχει μᾶλλον αὑτῷ καὶ τὰ 88
πράγματα περισκοπεῖ καὶ διαρμόζεται τὸν βίον. ἐπεὶ καὶ τοῦτο
τῆς κακίας ἴδιόν ἐστι, τὸ τοὺς ἐχθροὺς αἰσχύνεσθαι μᾶλλον
ἢ τοὺς φίλους ἐφ' οἷς ἐξαμαρτάνομεν. ὅθεν ὁ Νασικᾶς, οἰομέ-
νων τινῶν καὶ λεγόντων ἐν ἀσφαλεῖ γεγονέναι τὰ Ῥωμαίων
πράγματα Καρχηδονίων μὲν ἀνῃρημένων Ἀχαιῶν δὲ δεδουλω-